**32.** Εἴ τις εἰς ἄνουν ἄνθρωπον ἤλπικεν, ἀνόητος ὄντως
ἐστὶ καὶ οὐκ ἄξιος ὅλως σῴζεσθαι. Τὸ γὰρ ἀπρόσληπτον,
184A ἀθεράπευτον · ὃ δὲ ἥνωται τῷ Θεῷ, τοῦτο καὶ σῴζεται.
**33.** Εἰ ἥμισυς ἔπταισεν ὁ Ἀδάμ, ἥμισυ καὶ τὸ προσειλημ-
μένον καὶ τὸ σῳζόμενον. Εἰ δὲ ὅλος, ὅλῳ τῷ γεννηθέντι
ἥνωται καὶ ὅλως σῴζεται. Μὴ τοίνυν βασκαινέτωσαν ἡμῖν
τῆς παντελοῦς σωτηρίας, μηδὲ ὀστᾶ μόνον καὶ νεῦρα καὶ
ζωγραφίαν ἀνθρώπου τῷ Σωτῆρι περιτιθέτωσαν. **34.** Εἰ
μὲν γὰρ ἄψυχος ὁ ἄνθρωπος, τοῦτο καὶ Ἀρειανοὶ λέγουσιν,
ἵν' ἐπὶ τὴν θεότητα τὸ πάθος ἐνέγκωσιν, ὡς τοῦ κινοῦντος
τὸ σῶμα, τούτου καὶ πάσχοντος. Εἰ δὲ ἔμψυχος, εἰ μὲν
οὐ νοερός, πῶς καὶ ἄνθρωπος ; οὐ γὰρ ἄνουν ζῷον ὁ
ἄνθρωπος. **35.** Καὶ ἀνάγκη τὸ σχῆμα μὲν ἀνθρώπειον εἶναι
καὶ τὴν σκηνήν ˣ, τὴν δὲ ψυχὴν ἵππου τινὸς ἢ βοὸς ἢ ἄλλου
τῶν ἀνοήτων. Τοῦτο γοῦν ἔσται καὶ τὸ σῳζόμενον · καὶ
διεψεύσθην ἐγὼ παρὰ τῆς ἀληθείας, ἄλλου τιμηθέντος,
B ἄλλος μεγαλαυχούμενος. Εἰ δὲ νοερὸς ἀλλ' οὐκ ἄνους ὁ
ἄνθρωπος, παυσάσθωσαν ὄντως ἀνοηταίνοντες.